κοσμῆσαί τε φάλαγγα λόχον τ᾽ ἀναμετρήσασθαι
δυσμενέων ἐπιόντα, καὶ ἱππήεσσι κελεῦσαι,
Κάστωρ Ἱππαλίδας δέδαεν, φυγὰς Ἄργεος ἐνθών,
οὗ ποκα κλᾶρον ἅπαντα καὶ οἰνόπεδον μέγα Τυδεύς
ναῖε παρ᾽ Ἀδρήστοιο λαβὼν ἱππήλατον Ἄργος·
Κάστορι δ᾽ οὔτις ὁμοῖος ἐν ἡμιθέοις πολεμιστής
ἄλλος ἔην πρὶν γῆρας ἀποτρῖψαι νεότητα.
  Ὧδε μὲν Ἡρακλῆα φίλα παιδεύσατο μάτηρ.
εὐνὰ δ᾽ ἦς τῷ παιδὶ τετυγμένα ἀγχόθι πατρός
δέρμα λεόντειον μάλα οἱ κεχαρισμένον αὐτῷ,
δεῖπνον δὲ κρέα τ᾽ ὀπτὰ καὶ ἐν κανέῳ μέγας ἄρτος
Δωρικός· ἀσφαλέως κε φυτοσκάφον ἄνδρα κορέσσαι·
αὐτὰρ ἐπ᾽ ἄματι τυννὸν ἄνευ πυρὸς αἴνυτο δόρπον.
εἵματα δ᾽ οὐκ ἀσκητὰ μέσας ὑπὲρ ἕννυτο κνάμας.
. . . . . . ] ⟦. . υ̣μ̣ . . . γ̣ε . [. . . . . . . . . ] . ε̣λω⟧ [
. . . . . . ] . ι̣·  ποσ̣ο̣ν τι ρ̣ ϋ[
. . . . . . ] ⟦. γ̣αμον εχ⟧ [
. . . . . . . ]ς· εν χροϊ κα[
. . . . . . . . ]ψας· το δε κα[
. . . . . . . . ]εν ξεινο̣υ̣[
. . . . . . . . ]δ̣ε̣ω̣ . [
. . . . . . . . . . . . . ] . ε . [
. . . . . . . . . . . . . ] . ρ . [
. . . . . . . . . . . . . ]σ̣α . [
. . . . . . . . . . . . . ′]ντα̣ . [